eul_wid: kws-aa

*Βάτων ὁ Σινωπεύς* · Bato of Sinope

# On the Tyrants of Ephesus

## *Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-2 ΠΕΡΙ ΤΩΝ ΕΝ ΕΦΕΣΩι ΤΥΡΑΝΝΩΝ. Athenaeus VII: Τοὺς γοῦν θεραπευομένους ὑπ’ αὐτοῦ τὰς ἱερὰς καλουμένας νόσους, συγγράφεσθαι ἠνάγκαζεν, ὅτι ὑπακούσονται αὐτῷ δοῦλοι περισωθέντες.

1 Καὶ ἠκολούθουν ὁ μέν τις Ἡρακλέους σκευὴν ἔχων, καὶ καλούμενος Ἡρακλῆς (Νικόστρατος δ’ ἦν οὗτος, ὁ Ἀργεῖος, ἱερὰν νόσον θεραπευθείς. Μνημονεύει δ’ αὐτῶν Ἔφιππος ἐν Πελταστῇ, λέγων ὧδε· Οὐ Μενεκράτης μὲν ἔφασκεν εἶναι Ζεὺς θεός, Νικόστρατος δ’ ἀργεῖος, ἕτερος Ἡρακλῆς)· ἄλλος δέ τις, ὡς Ἑρμῆς, χλαμύδ’ ἔχων καὶ κηρύκειον, πρὸς δὲ τούτοις πτερά· ὡς ὁ Ζελείτης Νικαγόρας, ὁ καὶ τῆς πατρίδος τυραννήσας, ὡς ἱστορεῖ Βάτων ἐν τοῖς Περὶ τῶν ἐν Ἐφέσῳ τυράννων. Suidas: Πυθαγόρας Ἐφέσιος, καταλύσας δι’ ἐπιβουλῆς τὴν τῶν Βασιλειδῶν καλουμένην ἀρχὴν, ἀνεφάνη τε τύραννος πικρότατος, καὶ τῷ μὲν δήμῳ καὶ τῇ πληθύι ἦν τε καὶ ἐδόκει κεχαρισμένος, ἅμα τὰ μὲν αὐτοὺς ἐπελπίζων ὑποσχέσεσιν, τὰ δὲ ὑποσπείρων αὐτοῖς ὀλίγα κέρδη· τούς γε μὴν ἐν ἀξιώσει τε καὶ δυνάμει περισυλῶν καὶ δημεύων φορητὸς οὐδαμὰ οὐδαμῆ ἦν.

2 Καὶ κολάσαι δὲ πικρότατα οὐκ ἂν ὤκνησε, καὶ ἀφειδέστατα ἀποκτεῖναι οὐδὲν ἀδικοῦντας· ἐξελύττησε γὰρ εἰς ταῦτα ἔρως τις χρημάτων ἄμετρος· καὶ διαβολαῖς ταῖς εἰς τοὺς πλουσίους ἐκριπισθῆναι κουφότατος ἦν. Ἀπέχρησε μὲν οὖν καὶ ταῦτα ἂν κάκιστα ἀνθρώπων ἀπολέσαι αὐτόν· ἤδη δὲ καὶ τοῦ θείου κατεφρόνει. Τῶν γοῦν προειρημένων, οἷς ἐπέθετο, παμπόλλους ἐν τοῖς ναοῖς ἀπέκτεινε· ἑνὸς δὲ τὴν θυγατέρα καταφυγοῦσαν εἰς τὸ ἱερὸν ἀναστῆσαι μὲν αὐτὴν βιαίως οὐκ ἐτόλμησεν, συνεχῆ δὲ φυλακὴν ἐπιστήσας ἐξετρύχωσεν ἄρα ἐς τοσοῦτον, ὡς βρόχῳ τὴν κόρην τὸν λιμὸν ἀποδρᾶναι. Οὐκοῦν ἠκολούθησε δημοσία νόσος καὶ τροφῶν ἀπορία· καὶ σαλεύων ὁ Πυθαγόρας ὑπὲρ ἑαυτοῦ εἰς Δελφοὺς ἀπέστειλε, καὶ ᾔτει λύσιν τῶν κακῶν. Ἡ δὲ ἔφη, νεὼν ἀναστῆσαι καὶ κηδεῦσαι τοὺς νεκρούς. Ἦν δὲ πρὸ Κύρου τοῦ Πέρσου, ὥς φησι Βάτων. (ΠΕΡΙ ΤΩΝ ΕΝ ΣΥΡΑΚΟΥΣΑΙΣ ΤΥΡΑΝΝΩΝ.

**) Περὶ τῆς Ἱερωνύμου τυραννίδος. Athenaeus VI: Ἱερωνύμου δὲ, τοῦ Συρακοσίων τυράννου, Θράσονα, τὸν Κάρχαρον ἐπικαλούμενον, Βάτων ὁ Σινωπεὺς ἱστορεῖ ἐν τῷ Περὶ τῆς τοῦ Ἱερωνύμου τυραννίδος, προσφέρεσθαι φάσκων αὐτὸν ἑκάστοτε πολὺν ἄκρατον.**

3

Τοῦτον δ’ ἐποίησεν ἀναιρεθῆναι ὑπὸ τοῦ Ἱερωνύμου ἕτερος κόλαξ, Ὧσις ὄνομα· καὶ αὐτὸν δὲ τὸν Ἱερώνυμον ἀνέπεισε διάδημά τε ἀναλαβεῖν, καὶ τὴν πορφύραν καὶ τὴν ἄλλην πᾶσαν διασκευὴν, ἣν ἐφόρει Διονύσιος ὁ τύραννος. ΠΕΡΙ ΘΕΣΣΑΛΙΑΣ ΚΑΙ ΑΙΜΟΝΙΑΣ. [10]

4 Athenaeus, XIV: Βάτων δ’ ὁ Σινωπεὺς, ὁ ῥήτωρ, ἐν τῷ Περὶ Θεσσαλίας καὶ Αἱμονίας σαφῶς ἐμφανίζει τὴν τῶν Σατουρναλίων ἑορτὴν Ἑλληνικωτάτην, φάσκων αὐτὴν παρὰ τοῖς Θεσσαλοῖς Πελώρια καλεῖσθαι, γράφων οὕτως· «Θυσίας κοινῆς τοῖς Πελασγοῖς γινομένης ἀναγγεῖλαί τινα τῷ Πελασγῷ ἄνδρα, ᾧ ὄνομα ἦν Πέλωρος, διότι ἐν τῇ Αἱμονίᾳ σεισμῶν μεγάλων γενομένων ῥαγείη τὰ Τέμπη ὄρη ὀνομαζόμενα, καὶ διότι διὰ τοῦ διαστήματος ὁρμῆσαν τὸ τῆς λίμνης ὕδωρ ἐμβάλλοι εἰς τὸ τοῦ Πηνειοῦ ῥεῖθρον, καὶ τὴν πρότερον λιμνάζουσαν χώραν ἅπασαν γεγυμνῶσθαι, καὶ ἀναξηραινομένων τῶν ὑδάτων, πεδία θαυμαστὰ τῷ μεγέθει καὶ τῷ κάλλει ἀναφαίνεσθαι. Ἀκούσαντα οὖν τὸν Πελασγὸν τὴν τράπεζαν ἀφθόνως αὐτῷ κεκοσμημένην τῷ Πελώρῳ παραθεῖναι. Καὶ τοὺς ἄλλους δὲ φιλοφρονουμένους ἕκαστον φέρειν ὅ τι ἔχοι παρ’ αὐτῷ βέλτιστον, καὶ παρατιθέναι ἐπὶ τὴν τράπεζαν τῷ ἀπαγγείλαντι, καὶ αὐτὸν τὸν Πελασγὸν προθύμως διακονεῖν, καὶ τῶν ἄλλων τοὺς ἐν ἀξιώματι ὄντας ὑπηρετεῖν, καθότι ἑκάστῳ ὁ καιρὸς παρέπιπτε. Διόπερ φασὶν, ἐπεὶ τὴν χώραν κατέσχον, ἀπομίμημα τῆς τότε γενομένης ἑορτῆς, θύοντας Διὶ Πελώρῳ, τραπέζας τε λαμπρῶς κοσμοῦντας προτιθέναι, καὶ οὕτως φιλάνθρωπον τὴν πανήγυριν συντελεῖν, ὥστε καὶ τοὺς ξένους ἅπαντας ἐπὶ τὴν θοίνην παραλαμβάνειν, καὶ τοὺς δεσμώτας λύειν, καὶ τοὺς οἰκέτας κατακλίναντας μετὰ πάσης παρρησίας ἑστιᾶν, διακονούντων αὐτοῖς τῶν δεσποτῶν· καὶ τὸ σύνολον ἔτι καὶ νῦν Θεσσαλοὺς μεγίστην ἑορτὴν ἄγοντας προσαγορεύειν Πελωρίαν.» ΑΤΤΙΚΑΙ ΙΣΤΟΡΙΑΙ. [25]

5 (t) E LIBRO SECUNDO. Schol. Pindar. Isthm. III (IV), 104: Βάτος δὲ ἐν δευτέρῳ Ἀττικῶν ἱστοριῶν Πολύδωρον, Ἀνίκητον, Μηκιστόφονον, Πατροκλέα, Τοξόκλειτον, Μενεβρόντην, Χερσίβιον. Plutarch. [1]

6 Agid. c. 15: Ὁ δὲ Σινωπεὺς Βάτων αὐτὸν οὐκ ἐθέλειν μάχεσθαί φησι Ἆγιν Ἀράτου κελεύοντος, οὐκ ἐντετυχηκὼς οἷς Ἄρατος γέγραφε περὶ τούτων ἀπολογιζόμενος. ΠΕΡΙ ΙΩΝΟΣ ΤΟΥ ΠΟΙΗΤΟΥ. [5]

7 Athenaeus X: Βάτων δ’ ὁ Σινωπεὺς ἐν τοῖς Περὶ Ἴωνος τοῦ ποιητοῦ φιλοπότην φησὶ γενέσθαι καὶ ἐρωτικώτατον τὸν Ἴωνα. Καὶ αὐτὸς δὲ ἐν τοῖς ἐλεγείοις ἐρᾶν μὲν ὁμολογεῖ Χρυσίλλης τῆς Κορινθίας, Τελέου δὲ θυγατρός. ἧς καὶ Περικλέα τὸν Ὀλύμπιον ἐρᾶν φησι Τηλεκλείδης ἐν Ἡσιόδοις. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org